# † Τῷ Σαββάτῳ τοῦ ἁγίου καὶ δικαίου Λαζάρου.

Φίλος ἦν τοῦ Ἰησοῦ ὁ Λάζαρος, καὶ αἱ τούτου ἀδελφαί, Μάρθα καὶ Μαρία, αἵτινες καὶ ἐφιλοξένησαν αὐτόν, καὶ διηκόνησαν πολλάκις (Λουκ. ι΄ 38-40, Ἰωάννου, ιβ΄ 2-3). Ἦσαν δὲ ἐκ κώμης τινὸς τῆς Ἰουδαίας, Βηθανίας τὸ ὄνομα, κατὰ τοὺς πρὸς τὰ ἀνατολικὰ μέρη πρόποδας τοῦ ὄρους τῶν Ἐλαιῶν κειμένης, ἐγγὺς τῆς Ἱερουσαλὴμ ἕως δύο μίλια ρωμαϊκά. Τούτου οὖν τοῦ Λαζάρου ἀσθενήσαντος ἡμέρας τινὰς πρὸ τοῦ σωτηρίου πάθους, διαμηνύουσι τὴν ἀσθένειαν αὐτοῦ αἱ ἀδελφαὶ εἰς τὸν Ἰησοῦν, διατρίβοντα τότε ἐν τῇ Γαλιλαίᾳ. Ὁ δέ, μείνας ἐπίτηδες ἐκεῖ δύο ἡμέρας, ἕως οὗ ἀπέθανεν ὁ Λάζαρος, τότε εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄγωμεν εἰς τὴν Ἰουδαίαν, ἵνα ἐξυπνήσω τὸν φίλον κοιμώμενον· ἐννοῶν δηλαδὴ τὸν βαρὺν τοῦ θανάτου ὕπνον. Φθάσας δὲ εἰς Βηθανίαν, παρεμύθησε τὰς ἀδελφὰς τοῦ πρὸ τεσσάρων ἡμερῶν τεθαμμένου ἤδη Λαζάρου· ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν ἐπὶ τῷ θανάτῳ τοῦ ἀγαπητοῦ φίλου· ἠρώτησε· Ποῦ ἐναπετέθη τὸ λείψανον; ἐδάκρυσεν ἐπ᾽ αὐτῷ· προσῆλθεν εἰς τὸ μνημεῖον· προσέταξεν ἵνα ἄρωσι τὸν λίθον· ὕψωσεν ἄνω τοὺς ὀφθαλμοὺς καὶ εὐχαριστήσας τῷ Θεῷ καὶ Πατρί, ἔκραξε φωνῇ μεγάλῃ· Λάζαρε, δεῦρο ἔξω· καὶ τοῦ τεταρταίου νεκροῦ ἐξελθόντος εὐθύς, ἐντετυλιγμένου εἰς τὰ σάβανα, εἶπε πρὸς τοὺς παρεστῶτας· Λύσατε αὐτόν, καὶ ἄφετε ὑπάγειν (Ἰωάν. ια΄). Τοῦτό ἐστι τὸ ὑπερφυὲς τοῦ Σωτῆρος θαῦμα, ὅπερ ἑορτάζομεν σήμερον. Λέγεται δὲ ἐξ ἀρχαίας παραδόσεως ὅτι ὁ Λάζαρος ἦν τριακοντούτης ὅτε ἀνέστησεν αὐτὸν ὁ Κύριος· ὅτι ἐπιζήσας ἄλλα τριάκοντα ἐτελεύτησεν ἐν Κύπρῳ τὸ 63 ἔτος· καὶ ὅτι ὁ τάφος αὐτοῦ ἔκειτο πλησίον τῆς πόλεως Κιτιέων, ἔχων ἐπιγραφήν· «Λάζαρος ὁ τετραήμερος καὶ φίλος τοῦ Χριστοῦ». Τῷ δὲ 890 ἔτει μετεκόμισεν εἰς Κωνσταντινούπολιν τὸ ἱερὸν αὐτοῦ λείψανον Λέων ὁ σοφός, ὅτε ἀναμφιβόλως ἐποίησε καὶ τὰ εἰς τὸν ἑσπερινὸν αὐτοῦ ἰδιόμελα· Κύριε, Λαζάρου θέλων τάφον ἰδεῖν, κ.τ.λ.




### Ἀπολυτίκιον. Ἦχος α΄.

Τὴν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ σοῦ πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

### Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωή, τοῦ κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι· καὶ γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.